## † Τῇ Κυριακῇ τῆς Ἀπόκρεω.

Αἱ προλαβοῦσαι δύο παραβολαί, καὶ μάλιστα ἡ τοῦ Ἀσώτου, παρέστησαν ἡμῖν τὴν ἄκραν τοῦ Θεοῦ φιλανθρωπίαν καὶ ἀγαθότητα. Ἀλλ' ἵνα μή τινες, εἰς ταύτην μόνην θαρροῦντες, διάγωσιν ἀμελῶς, καὶ τὸν καιρὸν τῆς ἑαυτῶν σωτηρίας πραγματευόμενοι ἐπιμένωσιν εἰς τὴν ἁμαρτίαν, καὶ οὕτως ἁρπάσῃ αὐτοὺς αἰφνιδίως ὁ θάνατος· διὰ τοῦτο οἱ θειότατοι πατέρες ἔταξαν σήμερον τὴν ἑορτὴν καὶ ἀνάμνησιν τῆς ἀδεκάστου δευτέρας παρουσίας τοῦ Χριστοῦ, ἐνθυμίζοντες δι' αὐτῆς τοὺς τοιούτους, ὅτι οὐ μόνον φιλάνθρωπός ἐστιν, ὁ Θεός, ἀλλὰ καὶ κριτὴς δικαιότατος, καὶ ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.




Σκοπὸς οὖν τῶν ἁγίων Πατέρων ἐστίν, ἵνα, διὰ τῆς ἐνθυμίσεως τῆς φοβερᾶς ἐκείνης ἡμέρας, διεγείρωσιν ἡμᾶς ἐκ τοῦ ὕπνου τῆς ἀμελείας πρὸς ἐργασίαν τῆς ἀρετῆς, καὶ προτρέψωσιν εἰς φιλαδελφίαν καὶ συμπάθειαν. Ἐπειδὴ δὲ τῇ ἐρχομένῃ Κυριακῇ τῆς Τυροφάγου ποιοῦμεν τὴν ἀνάμνησιν τῆς τοῦ Ἀδὰμ ἐξορίας ἐκ τοῦ Παραδείσου τῆς τρυφῆς, ἥτις ἐστὶν ἡ ἀρχὴ τοῦ παρόντος βίου, δῆλον ὅτι ἡ σημερινὴ ἑορτὴ λογίζεται ὡς τελευταία πασῶν· διότι εἰς ταύτην ἀληθῶς τελευτῶσι τὰ ἡμέτερα πάντα καὶ ὁ κόσμος αὐτός.

### Κοντάκιον τοῦ Τριῳδίου.

### Ἦχος α΄. Τὸ τάφον σου Σωτήρ.

Ὅταν ἔλθῃς ὁ Θεός, ἐπὶ γῆς μετὰ δόξης, καὶ τρέμουσι τὰ σύμπαντα· ποταμὸς δὲ τοῦ πυρός, πρὸ τοῦ βήματος ἕλκῃ, καὶ βίβλοι ἀνοίγωνται, καὶ τὰ κρυπτὰ δημοσιεύωνται· τότε ῥῦσαί με, ἐκ τοῦ πυρὸς τοῦ ἀσβέστου, καὶ ἀξίωσον, ἐκ δεξιῶν σου με στῆναι, Κριτὰ δικαιότατε.